ἐκ τοῦ α΄ τοῦ ϛ΄: ἀλλ' ὡς ἡ ΑΜ πρὸς ΜΓ, οὕτως τὸ ΑΒΜ τρίγωνον πρὸς
τὸ ΜΒΓ· καὶ τὸ ΑΜΕ πρὸς τὸ ΕΜΓ· πρὸς ἄλληλα γάρ εἰσιν
ἐκ τοῦ ιβ΄ τοῦ ε΄: ὡς αἱ βάσεις· καὶ ὡς ἄρα ἓν τῶν ἡγουμένων πρὸς ἓν
τῶν ἑπομένων, οὕτως ἅπαντα τὰ ἡγούμενα πρὸς
ἅπαντα τὰ ἑπόμενα· ὡς ἄρα τὸ ΑΜΒ τρίγωνον
πρὸς τὸ ΒΜΓ, οὕτως τὸ ΑΒΕ πρὸς τὸ ΓΒΕ· ἀλλ' ὡς τὸ ΑΜΒ
πρὸς τὸ ΒΜΓ, οὕτως ἡ ΑΜ πρὸς ΜΓ· καὶ ὡς ἄρα ἡ ΑΜ
πρὸς ΜΓ, οὕτως τὸ ΑΒΕ τρίγωνον πρὸς τὸ ΕΒΓ τρί-
γωνον. διὰ τὰ αὐτὰ δὴ καὶ ὡς ἡ ΖΝ πρὸς ΝΘ, οὕτως
τὸ ΖΗΛ τρίγωνον πρὸς τὸ ΗΛΘ τρίγωνον. καί ἐστιν ὡς ἡ
ΑΜ πρὸς τὴν ΜΓ, οὕτως ἡ ΖΝ πρὸς ΝΘ· καὶ ὡς ἄρα
τὸ ΑΒΕ τρίγωνον πρὸς τὸ ΒΕΓ τρίγωνον, οὕτως τὸ
ΖΗΛ τρίγωνον πρὸς τὸ ΗΛΘ τρίγωνον· καὶ ἐναλλὰξ
ὡς τὸ ΑΒΕ τρίγωνον πρὸς τὸ ΖΗΛ τρίγωνον, οὕτως
τὸ ΒΕΓ τρίγωνον πρὸς τὸ ΗΛΘ τρίγωνον. ὁμοίως
δὴ δείξομεν ἐπιζευχθεισῶν τῶν ΒΔ, ΗΚ, ὅτι καὶ ὡς τὸ ΕΒΓ
τρίγωνον πρὸς τὸ ΛΗΘ τρίγωνον, οὕτως τὸ ΕΓΔ
πρὸς τὸ ΛΘΚ τρίγωνον. καὶ ἐπεί ἐστιν ὡς τὸ ΑΒΕ τρί-
γωνον πρὸς τὸ ΖΗΛ τρίγωνον, οὕτως τὸ ΕΒΓ πρὸς τὸ ΛΗΘ
καὶ ἔτι τὸ ΕΓΔ πρὸς τὸ ΛΘΚ· καὶ ὡς ἄρα ἓν τῶν ἡγουμέ-
νων πρὸς ἓν τῶν ἑπομένων, οὕτως ἅπαντα τὰ ἡ-
γούμενα πρὸς ἅπαντα
τὰ ἑπόμενα· ἔστιν ἄ-
ρα ὡς τὸ ΑΒΕ τρίγωνον
πρὸς τὸ ΖΗΛ τρίγωνον,
οὕτως τὸ ΑΒΓΔΕ πολύ-



ἐκ τοῦ ιθ΄ τοῦ ϛ΄

γωνον πρὸς τὸ ΖΗΘΚΛ πολύγωνον· ἀλλὰ τὸ ΑΒΕ τρίγωνον
πρὸς τὸ ΖΗΛ τρίγωνον διπλασίονα λόγον ἔχει ἤπερ ἡ ΑΒ
ὁμόλογος πλευρὰ πρὸς τὴν ΖΗ ὁμόλογον πλευράν· τὰ γὰρ
ὅμοια τρίγωνα ἐν διπλασίονι λόγῳ εἰσὶ τῶν ὁμολόγων
πλευρῶν· καὶ τὸ ΑΒΓΔΕ ἄρα πολύγωνον πρὸς τὸ ΖΗΘΚΛ
πολύγωνον διπλασίονα λόγον ἔχει ἤπερ ἡ ΑΒ ὁμόλο-
γος πλευρὰ πρὸς τὴν ΖΗ ὁμόλογον πλευράν. τὰ ἄρα
ὅμοια πολύγωνα εἴς τε ὅμοια τρίγωνα διαιρεῖται καὶ
εἰς ἴσα τὸ πλῆθος καὶ ὁμόλογα τοῖς ὅλοις· καὶ τὸ πολύ-
γωνον πρὸς τὸ πολύγωνον διπλασίονα λόγον ἔχει ἤ-
περ ἡ ὁμόλογος πλευρὰ πρὸς τὴν ὁμόλογον πλευράν·
ὅπερ ἔδει δεῖξαι :–

Ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ὁμοίων τετραπλεύρων δειχθήσεται
ὅτι ἐν διπλασίονι λόγῳ εἰσὶ τῶν ὁμολόγων πλευρῶν·
ἐδείχθη δὲ καὶ ἐπὶ τῶν τριγώνων· ὥστε καὶ καθόλου τὰ
ὅμοια εὐθύγραμμα σχήματα πρὸς ἄλληλα ἐν διπλα-
σίονι λόγῳ εἰσὶ τῶν ὁμολόγων πλευρῶν· καὶ ἐὰν τῶν
ΑΒ, ΖΗ τρίτην ἀνάλογον λάβωμεν τὴν Ξ, ἡ ΒΑ πρὸς
τὴν Ξ διπλασίονα λόγον ἔχει ἤπερ ἡ ΑΒ πρὸς τὴν ΖΗ· ἐκ τοῦ πορ. ιθ΄
ἔχει δὲ καὶ τὸ πολύγωνον πρὸς τὸ πολύγωνον τὸ τετρά-
πλευρον πρὸς τὸ τετράπλευρον διπλασίονα λόγον· ἤπερ
ἡ ὁμόλογος πλευρὰ
πρὸς τὴν ὁμόλογον
τουτέστιν ἡ ΑΒ πρὸς
τὴν ΖΗ· ἐδείχθη δὲ
τοῦτο καὶ ἐπὶ τῶν τρι-

[illegible]



BIBL. BODL.

EUCLID *Elementa* BYZANTINE, 888 THE BODLEIAN LIBRARY Octavo